Ἱερομ. Ἀθανασίου Κατουνακιώτου

# ΔΟΞΟΛΟΓΙΑ
# ΚΑΙ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΡΙΑΔΑ

Ἔκδοσις Ἱ. Μονῆς Ἁγ. Τριάδος
Μενδενίτσης



# ΔΟΞΟΛΟΓΙΑ*

**Ἤτοι, Οἶκοι εἰκοσιτέσσαρες (24)**
**εἰς τὴν Ἁγίαν καὶ Ζωαρχικὴν ΤΡΙΑΔΑ**

Κοντάκιον.

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὴν ὑπερούσιον Τριάδα σε δοξάζομεν,
Πατέρα ἄναρχον, Υἱὸν καὶ Πνεῦμα ἅγιον,
Ἀληθῶς ἕνα Θεὸν καὶ παμβασιλέα.
Τῶν πταισμάτων τὴν συγχώρησιν αἰτούμεθα,
καὶ τυχεῖν τῆς αἰωνίου βασιλείας σου
Τοὺς κραυγάζοντας, δόξα σοι, τῷ Θεῷ ἡμῶν.

(Ἁγία Τριὰς ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς)

Ἄναρχε Θεαρχία, καὶ Τριὰς Παναγία, Πάτερ Υἱὲ καὶ Πνεῦμα, (ἐκ γ') Θεότης μία τρισσοφαής, ἡ ἐκ μὴ ὄντος τὸ πᾶν οὐσιώσασα, προσπίπτω σοι, Πανάγαθε, πίστει καὶ πόθῳ ἐκβοῶν σοι·

δόξα Πατρὶ Θεῷ προανάρχῳ,

* Δικαίως ἐκλήθη Δοξολογία, ὅτι περιέχει τὴν λέξιν «δόξα» 160 φοράς.

δόξα Υἱῷ, Θεῷ συνανάρχῳ.
Δόξα ὁμοθέῳ, τῷ ἁγίῳ Πνεύματι·
δόξα ὑπερθέῳ, τῇ μιᾷ Θεότητι.
Δόξα, Πάτερ Παντοδύναμε, τῶν ἁπάντων ποιητά,
δόξα, Λόγε πολυέλεε, τῶν ἀνθρώπων λυτρωτά.
Δόξα Πνεύματι θείῳ πᾶσαν κτίσιν πληροῦντι,
δόξα πάντων αἰτίῳ πᾶσαν φύσιν ζωοῦντι.
Δόξα, δι' οὗ τῆς κτίσεως ἔναρξις·
δόξα, ἐξ οὗ τῶν πάντων ἡ ὕπαρξις.
Δόξα, ὃν πάντα φρίσσει καὶ τρέμει·
δόξα, ᾧ πᾶσα κτίσις δουλεύει,
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Βάθει σοφῆς βουλῆς σου, οὐρανόν, γῆν καὶ ὕδωρ, ὑπέστησας ἀρρήτῳ ἰσχύι, καὶ ἅπαντα τὸν κόσμον αὐτῶν· ἐν ἓξ ἡμέραις δ' ὡς συνετελέσθησαν, οἱ Ἄγγελοί σου Κύριε, φωνῇ μεγάλῃ ᾔνεσάν σε

Ἀλληλούια

Γέννησιν Θεοῦ Λόγου, ἐκ Πατρὸς ἀγεννήτου, καὶ Πνεύματος ἐκπόρευσιν θείου, ἐκ μόνου τοῦ Πατρὸς ἐννοῶν, ὁμολογῶ Τριάδα ὁμοούσιον· ἐκπόρευσιν, καὶ γέννησιν ἀΐδιον, δοξάζων εὐσεβῶς, κραυγάζω·

δόξα Θεῷ Πατρὶ τῷ Γενέτῃ,
δόξα Υἱῷ ἐκ Πατρὸς φυέντι.
Δόξα προβλητῷ Παναγίῳ τῷ Πνεύματι·
δόξα τῇ τρισσῶς ἑνουμένῃ Θεότητι.
Δόξα, Πάτερ ἐπουράνιε σύμπαντος δημιουργέ,



δόξα σοι Υἱὲ ὁμόθρονε πάντων συνδημιουργέ.
Δόξα σοι Πνεῦμα, φυὲν ἐκ Πατρὸς ἀπορρήτως,
δόξα σοι Φάος, συνὸν τῷ Υἱῷ πατροπροβλήτως.
Δόξα σοι, Πάτερ, Θεὲ ὑπερούσιε,
δόξα σοι, Λόγε Πατρὸς ὁμοούσιε.
Δόξα, Πνεῦμα τοῦ Πατρὸς καὶ τοῦ Λόγου·
δόξα, μόνε χορηγὲ παντὸς δώρου,
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Δόξαν, μεγαλωσύνην καὶ ἀσίγητον αἶνον, ἀΰλως τῷ σῷ κράτει προσφέρει, πᾶσα τῶν Ἀγγέλων ἡ πληθύς, τὸν σὸν περικυκλοῦντες θρόνον Δέσποτα· μεθ' ὧν ἡ θριαμβεύουσα ἐκκλησία, ἐκβοᾷ σοι

Ἀλληλούϊα.

Ἕνα σε τῇ οὐσίᾳ, ἐν τρισὶ τοῖς προσώποις, εἶδεν Ἀβραὰμ ὁ Πατριάρχης, ἐν τῇ δρυΐ πάλαι τῇ Μαμβρῇ· θυσίαν δὲ τοῦ Ἰσαὰκ ἐκώλυσας· ὁ εἷς γὰρ τῆς Τριάδος σαρκὶ τέθνηκας, ὑπὲρ τῶν βοώντων·

δόξα Θεῷ Πατρὶ ἀοράτῳ,
δόξα Υἱῷ σαρκὶ ὁρωμένῳ.
Δόξα τῷ ἁγίῳ ἀοράτῳ Πνεύματι·
δόξα σοι τῇ ἀπεριγράπτῳ Θεότητι.
Δόξα σοι, ᾧπερ λατρεύουσι τῶν Ἀγγέλων οἱ χοροί,
δόξα σοι, ὃν προηγόρευσαν οἱ Προφῆται οἱ σοφοί.
Δόξα σοι, τῷ ποιήσαντι Ἀδὰμ τὸν Γενάρχην,
δόξα σοι, τῷ εὐλογήσαντι Ἀβραὰμ τὸν Πατριάρχην.
Δόξα Πατρὶ τῷ τὸν Υἱὸν θύσαντι,
δόξα Χριστῷ τῷ ἀμώμῳ θύματι.

Δόξα, πρὸς ὃν ἐπιφθάσαι ποθῶμεν·
δόξα, πρὸς ὃν οἱ πιστοὶ ἐκβοῶμεν,
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Ζῆλον ἔνδοθεν πνέων, ὁ πυρίπνους Ἠλίας, προσήνεγκε τὴν ξένην θυσίαν· τρισσεῦσαι γὰρ τὸ ὕδωρ εἰπών, τὸ τρισσὸν τῶν ὑποστάσεων δέδειχε, τοῦ ἐν μονάδι φύσεως, Θεοῦ Ἰσραήλ· ᾧ βοῶμεν

Ἀλληλούια.

Ἠσαΐας ἐν θρόνῳ, ἐπηρμένῳ ἑώρα, Σαβαὼθ Κύριον Βασιλέα· κραυγὴν δὲ τῶν κύκλῳ Σεραφίμ, ἅγιος, ἅγιος, ἅγιος ἤκουε, Τριάδα ὁμοούσιον, ὑμνῶν καὶ κατανύξει κράζων·

δόξα Πατρὶ τῷ ὑπερουσίῳ,
δόξα Υἱῷ τῷ ὁμοουσίῳ.
Δόξα τῷ σεπτῷ ὁμοθρόνῳ τε Πνεύματι·
δόξα τῇ μιᾷ ἀκαταλήπτῳ Θεότητι.
Δόξα, ᾗ οἱ Νόες ᾄδουσι τὴν οὐράνιον μολπήν,
δόξα, ᾗ ἀπαύστως κράζουσι τὴν τρισάγιον ᾠδήν.
Δόξα τῷ χορηγοῦντι δωρεὰς τοῖς ἁγίοις,
δόξα τῷ ἐνοικοῦντι νοερῶς τοῖς ἀξίοις.
Δόξα τῷ κτίσιν νεύματι στήσαντι·
δόξα, χερσὶ τὸν ἄνθρωπον πλάσαντι.
Δόξα τῇ σῇ ἀνεκφράστῳ δυνάμει,
δόξα τῇ σῇ ἀνεικάστῳ ἰσχύι,
δόξα σοι τῷ Θεῷ ἡμῶν.



Θεορρήμονες Παῖδες, ἐν καμίνῳ βληθέντες, Παρθένου προτυποῦσι τὸν τόκον· τὸ πῦρ γὰρ τῆς Τριάδος Αὐτῇ, ἐγκατοικῆσαν ἄφλεκτον ἔδειξε. Διόπερ σὺν Αὐτῇ καὶ τοῖς Παισί, τῇ Τριάδι βοῶμεν

Ἀλληλούια.

Ἴδεν ὁ Δανιήλ σε, τὸν Θεὸν τῶν ἁπάντων, καθήμενον Κριτὴν ἐπὶ θρόνου, Πατέρα, παλαιὸν ἡμερῶν, Υἱὸν σύνθρονον, τὸν ἐνανθρωπήσαντα, καὶ Πνεύματι, μυούμενος, τὸν ἕνα Θεὸν ἀνεβόα·

δόξα Θεῷ Πατρὶ ἀεὶ ὄντι,
δόξα Υἱῷ, τῷ Πατρὶ συνόντι.
Δόξα τῷ σεπτῷ συναϊδίῳ Πνεύματι·
δόξα τῇ μιᾷ καὶ ἀνάρχῳ Θεότητι.
Δόξα σοι, Τριάς, προσώποις ἑνουμένη οὐσιωδῶς,
Δόξα σοι, Μονὰς τῇ φύσει, τρισσουμένη ὑποστατικῶς.
δόξα σοι, ἐπὶ θρόνου τῷ Προφήτῃ ὀφθέντι·
δόξα σοι, ἐν ἀνθρώπου τῇ μορφῇ ὁραθέντι.
Δόξα, κράτος ἓν ὁμοβασίλειον·
δόξα, φάος ἄκτιστον τρισήλιον.
Δόξα τῷ μόνῳ Θεῷ καὶ Δεσπότῃ,
δόξα τῷ λάμψαντι φῶς τοῖς ἐν σκότει,
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Κατελθὼν οὐρανόθεν, ὁ Θεοῦ Θεὸς Λόγος, ἐνῴκησεν ὅλος τῇ Παρθένῳ, καὶ σάρκα προσλαβὼν ἐξ αὐτῆς, προῆλθεν ἀνεκφράστως ὁ Θεάνθρωπος. Ἐκπλήττομαι, τὴν ἄκραν συγκατάβασιν· διὸ καὶ ψάλλω

Ἀλληλούϊα

Λόγος ὁ ἐν τοῖς κόλποις, τοῦ Πατρὸς ὢν ἀρχῆθεν, ἐγένετο σὰρξ ἀναλλοιώτως· Πνεῦμα γὰρ τὸ ἅγιον ἐλθόν, τῇ καθαρᾷ Παρθένῳ ἐπεσκίασε, κόσμον εὐῳδιάσαν, καὶ τῇ Τριάδι βοᾶν διδάξαν·

δόξα Θεῷ Πατρὶ ἀγεννήτῳ·
δόξα Υἱῷ τῷ Πατρογεννήτῳ.
Δόξα τῷ Πατρὸς παναγάθῳ Προβλήματι·
δόξα τῷ Υἱοῦ παναγίῳ προσλήματι.
Δόξα τῷ Πατρὶ γεννήσαντι τὸν Υἱὸν Θεοπρεπῶς,
δόξα τῷ Υἱῷ βλαστήσαντι ἐξ Ἁγνῆς Θεανδρικῶς.
Δόξα Πνεύματι θείῳ ἐπελθόντι τῇ Μαρίᾳ,
δόξα τῷ ἐνεργήσαντι Λόγου σάρκωσιν θείαν.
Δόξα Θεῷ, Ἀδάμ τῷ ποιήσαντι·
δόξα Χριστῷ, αὐτὸν ἀναπλάσαντι.
Δόξα, δι' οὗ εὐλογήθη ἡ κτίσις·
δόξα, πρὸς ὃν λογικὴ μέλπει φύσις
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Μεγαλύνομεν πάντες, τοῦ Θεοῦ τὴν Μητέρα, τὴν ὄντως ἁγίαν Θεοτόκον· ὅτι τὸν ἀχώρητον Θεόν, ἐν κοιλίᾳ βαστάσασα ἐκύησε, αἰτία σωτηρίας γεγονυῖαν, πᾶσι τοῖς βοῶσιν

Ἀλληλούια.

Νάμασιν Ἰορδάνου, τῆς Ἁγίας Τριάδος, ἡ προσκύνησις ἐφανερώθη. Ἄνωθεν γὰρ ὁ Πατήρ, Υἱὸν ἐμαρτύρει τὸν βαπτιζόμενον, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερά, ἡμᾶς ἠσφάλιζε κραυγάζειν·



δόξα, Τριὰς καὶ Μονὰς ἡ θεία·
δόξα, Μονὰς καὶ Τριὰς Ἁγία.
Δόξα τῷ Πατρί, τῷ Υἱῷ καὶ τῷ Πνεύματι·
δόξα τῇ μιᾷ τρισηλίῳ Θεότητι.
Δόξα σοι, Θεὲ ἀόρατε καὶ ἀπρόσιτε φρικτῶς·
δόξα, Ἰησοῦ γλυκύτατε προσιτός μοι γεγονώς.
Δόξα σοι, τῷ ἐν ῥείθροις Ἰορδάνου φανέντι·
δόξα σοι, τῷ ἐν εἴδει περιστερᾶς ὀφθέντι.
Δόξα σοι, φῶς ἁπλοῦν, παμφαέστατον·
δόξα σοι, φῶς τρισσόν, τηλαυγέστατον.
Δόξα, δι' οὗ ἐφωτίσθη τὰ πάντα·
δόξα, πρὸς ὃν ἀνακράζομεν ἅμα
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Ξένην ἐπὶ τοῦ ὄρους, οἱ Ἀπόστολοι τότε, ἠλλοιώθησαν ἔκστασιν ὄντως· τοῦ Πατρὸς γὰρ ἤκουον, Υἱόν, μαρτυροῦντος τὸν μεταμορφούμενον, νεφέλην δέ, τοῦ Πνεύματος, τὴν χάριν θεωροῦντες, ἐβόων

Ἀλληλούια.

Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ· φυσικῶς δ' ἐν ἐμοὶ ὢν ὁ Πατήρ, καὶ τὸ Πνεῦμα, οἱ ἀξίως κοινωνοῦντές μοι, τὴν Τριάδα δέχονται, καὶ θεούμενοι οὕτω βοῶσι·

δόξα Θεῷ, τρυφῇ τῶν Ἀγγέλων·
δόξα Χριστῷ, τροφῇ τῶν ἀνθρώπων.
Δόξα τῷ παρέχοντι ἄρτον οὐράνιον,

δόξα τῷ ποτίζοντι οἶνον σωτήριον.
Δόξα σοι, λαῷ ὀμβρίσαντι μάννα τότε τὸ φθαρτόν,
δόξα σοι, ἡμᾶς ἐμπλήσαντι Μυστηρίων τῶν φρικτῶν.
Δόξα σου τῇ κενώσει, ἀληθὴς ἀμβροσία·
δόξα σου τῇ ἑνώσει, μυστικὴ πανδαισία.
Δόξα Θεῷ, Ἱερεῖς προσᾴδουσι·
δόξα Αὐτῷ οἱ πιστοὶ συνᾴδουσι.
Δόξα τῇ σῇ Χριστὲ φρικτῇ θυσίᾳ·
δόξα σοι, προσφωνεῖ ἡ Ἐκκλησία·
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Πῶς ὁ Ὢν ἐσαρκώθης; Πῶς ἑκὼν ἐσταυρώθης; καὶ ταφεὶς πῶς ἐν Ἅδου κατῆλθες; Πάντως ἵνα πλάσμα τὸ σόν, θανάτου Χριστέ λυτρώσῃς, Παραδείσου τῆς τρυφῆς ἀξιώσῃς, καὶ τῇ Τριάδι κραυγάζειν διδάξῃς,

Ἀλληλούϊα.

Ρήτορας ἐν τῷ κόσμῳ, Σῶτερ τοὺς Ἀποστόλους, ἀπέστειλας κηρύττειν καὶ βαπτίζειν, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, τηρεῖν τε τὰ σὰ ἐντάλματα, καὶ θεολογεῖν τοιαῦτα·

δόξα Θεῷ, τῇ ὄντως σοφίᾳ·
δόξα Αὐτῷ, ἀρρήτῳ οὐσίᾳ.
Δόξα, Ἰησοῦ, τῇ ἐκ Κόρης σαρκώσει σου·
δόξα τῇ σεπτῇ ἐκ νεκρῶν ἀναστάσει σου.
Δόξα σοι, Τριὰς ἀσύγχυτε καὶ ἀμέριστε Μονάς·
δόξα, σοῖς Χριστὲ παθήμασι, δι' ὧν ἔσωσας ἡμᾶς.
Δόξα σοι, ὃν Προφῆται μυστικῶς ἐθεώρουν,
δόξα σοι, ὃν Αὐτόπται σαρκωθέντα ἑώρων.
Δόξα σοι Τριάς, ᾗ ἐβαπτίσθημεν,
δόξα σοι Μονάς, ᾗ ἐφωτίσθημεν.
Δόξα, δι' οὗ νεουργεῖται ὁ κόσμος,
δόξα, πρὸς ὃν ἀναπέμπεται αἶνος·
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Σταυρωθεὶς ἑκουσίως, τάφον Σῶτερ εἰσέδυς, ἐ[...] νεκρῶν τε ἀνέστης ἐν δόξῃ· καὶ ἀναληφθεὶς εἰ[...] οὐρανούς, δεξιόθεν τοῦ Πατρὸς συνεκάθησας, [...] Θεάνθρωπος, σὺν Πνεύματι ἁγίῳ ἀνυμνούμενος·

Ἀλληλούϊα.

Τὸ Πανάγιον Πνεῦμα, τὸ τὰ πάντα ζωῶσαν, κα[...] τοὺς Ἀποστόλους ἐμφορῆσαν, κατελθὸν ἐν τ[...] Πεντηκοστῇ, ὡσεὶ γλῶσσαι πυρὸς ἐφ' ἕνα ἕκα[...] στον, ἐφώτισεν, ἐδίδαξε, ποικιλογλώσσως ἀνακράζει[...]

δόξα Θεῷ, ὅτι ἓν καὶ τρία· δόξα σοι, ὦ τρισσὴ Μοναρχία
δόξα, Πατρὸς ὁ Υἱὸς γέννημα ἄμωμον·
δόξα, Πατρὸς προβλητὸν Πνεῦμα τὸ ἅγιον.
Δόξα σοι, Πάτερ ἀγέννητε καὶ Υἱὲ μονογενές,
δόξα σοι, Πνεῦμα Παράκλητον, ἀγαθόν τε καὶ εὐθέ[...]
Δόξα σοι, ἅγιον Φῶς, τὸ φωτίζον καρδίας,
δόξα σοι, ἄστεκτον πῦρ, τὸ πυροῦν διανοίας.
Δόξα, δι' οὗ Προφητῶν ἡ ὅρασις,
δόξα, δι' οὗ Ἀποστόλων φώτισις.
Δόξα σοι, δόξα ἐνδόξων Μαρτύρων,
δόξα σοι, κλέος εὐκλεῶν Ἁγίων,
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Ὕμνον εὐχαριστίας, δόξαν, μεγαλωσύνην, προσάγει τῶν πιστῶν ἡ χορεία, πρὸς τὴν ὑπεράρχιον Ἀρχήν, ἄληπτον Οὐσίαν, Φῶς ἀπρόσιτον, Θεότητα μίαν τρισυπόστατον, καὶ προσκυνοῦσα ψάλλει,

**Ἀλληλούϊα.**

Φῶς Πατέρα δοξάζω, Φῶς Υἱὸν συνδοξάζω, Φῶς τιμῶ καὶ τὸ Ἅγιον Πνεῦμα, ἀλλ' ἓν Φῶς τὰ τρία ἀειλαμπές, αἰτίαν τῆς τῶν πάντων ὑπάρξεως, ὁμοβασίλειον κράτος καὶ ἐξουσίαν, πρὸς ἣν βοῶμεν·

δόξα σοι Φῶς, τὸ προὸν ἀχρόνως,
δόξα σοι φῶς ἐκ φωτὸς συγχρόνως.
Δόξα σοι, τὸ φῶς ἐκ Πατρὸς τὸ ὁμόχρονον·
δόξα σοι Φωτάρχα, τριφαὲς Φῶς ὑπέρχονον.
Δόξα σοι, Φῶς τὸ ἀπρόσιτον ἐν Ἁγίοις κατοικοῦν·
δόξα σοι, Φῶς τὸ ἀείφωτον, τὸ φωστῆρας αὐτουργοῦν.
Δόξα σοι, ποιήσαντι ἥλιον καὶ σελήνην,
δόξα σοι, κοσμήσαντι οὐρανὸν δι'ἀστέρων.
Δόξα τῇ σῇ ἀπείρῳ λαμπρότητι,
δόξα τῇ σῇ ἀΰλῳ φαιδρότητι.
Δόξα, Τριάς, φωτισμὸν δωρουμένη,
δόξα, Μονάς, ὑφ' ἡμῶν ὑμνουμένη,
δόξα σοι τῷ Θεῷ ἡμῶν.

Χάριν δίδου πλουσίαν, ἡμῖν τοῖς λατρευταῖς σου, ὁ Θεός, τὸ Παράκλητον Πνεῦμα. Φώτισον, συνέτισον ἡμᾶς, καὶ ἀπὸ αἱρέσεων διαφύλαξον, ὡς



ἂν ἀπλανῶς, ὀρθοδόξως καὶ ὁμοφρόνως ψάλλωμεν,

**Ἀλληλούϊα.**

Ψάλλοντες εὐφημοῦμεν, καὶ πιστῶς προσκυνοῦμεν τὴν μίαν βασιλείαν ἁπάντων, Πατέρα ἀόριστον ἀρχήν, Υἱὸν καὶ Πνεῦμα, Πατρὶ συναΐδια, Θεότητα μίαν, δόξαν καὶ λαμπρότητα, ᾗ βοῶμεν·

δόξα σοι, Πάτερ εὐλογημένε,
δόξα σοι, Λόγε δεδοξασμένε.
Δόξα σοι, ὦ Πνεῦμα Παράκλητε ἔνδοξε·
δόξα σοι, Παντάναξ, Μονοκράτορ Ὕψιστε.
Δόξα, Πάτερ, ὅτι ἔπεμψας τὸν Υἱόν σου εἰς τὴν γῆν·
δόξα, Σῶτερ, ὅτι ἔδειξας τὸν Πατέρα σου ἡμῖν.
Δόξα, Πνεῦμα τὸ νέμον εἰς ἡμᾶς θείαν χάριν·
δόξα, δόξα Θεέ μου, ἐρχομένῳ σοι πάλιν.
Δόξα, Τριάς, σοὶ μόνῃ πιστεύομεν,
δόξα, Μονάς, σοί πόθῳ λατρεύομεν.
Δόξα Θεῷ, εὐσεβῶς ὃν δοξάζω,
δόξα Θεῷ, ἐκ ψυχῆς ᾧ κραυγάζω,
δόξα σοι, τῷ Θεῷ ἡμῶν.

**(Ἁγία Τριὰς ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς).**

Ὦ Τριὰς Παναγία, Πάτερ Λόγε καὶ Πνεῦμα, ἡ μία τῶν ἁπάντων Θεότης (ἐκ γ')· Σπλαγχνισθεῖσα δέξαι παρ' ἡμῶν, δοξολογίαν, αἴνεσιν ὀρθόδοξον καὶ ἀξίωσον βασιλείας οὐρανῶν, τοὺς ψάλλοντάς σοι

**Ἀλληλούϊα.**

## (Καὶ αὖθις). Τὸ Κοντάκιον.

### Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τὴν Ὑπερούσιον Τριάδα σε δοξάζομεν,
Πατέρα Ἄναρχον, Υἱὸν καὶ Πνεῦμα ἅγιον,
Ἀληθῶς ἕνα Θεὸν καὶ Παμβασιλέα.
Τῶν πταισμάτων τε συγχώρησιν αἰτούμεθα.
Καὶ τυχεῖν τῆς αἰωνίου Βασιλείας σου.
Τοὺς κραυγάζοντας, δόξα σοι, τῷ Θεῷ ἡμῶν.

## ΣΤΙΧΟΙ

Τριὰς Ἁγία ὁ Θεός, ὁ Θεός μου,
Οἴκους δόξης δέξαι, καμάτους νοός μου.

Εἰ πᾶσαν ἡμῶν κτῆσιν ὀφείλομέν σοι,
τὰ σὰ ἐκ τῶν σῶν τοίνυν προσφέρομέν σοι.

Οὐκ ἔστιν ἀντάλλαγμα ἡ σὴ Βασιλεία·
μέγα σὸν ἔλεος ἡμῶν ἡ σωτηρία,
ἣν δώῃς ἡμῖν μόνῃ σῇ φιλανθρωπίᾳ.
Ἀμήν.